www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν εἰς τὸν Ἅγιον Μεγαλομάρτυρα Μερκούριον

Ἦχος πλ.β'

Ἅγιον Ὅρος

2018

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

# Κανὼν εἰς τὸν Ἅγιον Μεγαλομάρτυρα Μερκούριον, οὗ ἡ ἀκροστιχίς, «Μερκουρίῳ μάρτυρι ὕμνον ᾄδω», ἐν δὲ τοῖς Θεοτοκίοις, «Ἱλαρίων Μ.», Ἦχος πλ.β΄

*ᾨδὴ Α΄ Ὡς ἐν ἠπείρῳ πεζεύσας.*

Μεγαλομάρτυς Μερκούριε τοῦ Χριστοῦ, τὸν ἐσκοτισμένον μου, νοῦν καταύγασον φωτί, τῶν ἱκεσιῶν σου τὴν ᾠδήν, σοὶ ἀξίως ἀθλοφόρε ὅπως ᾄσωμαι.

Ἐκ τῆς ἑώας ἀνέτειλας ὡς φωστήρ, δαδουχῶν τὰ σύμπαντα, τοῖς πυρσεύμασι τῶν σῶν, παλαισμάτων ἔνδοξε δι᾽ ὧν, τῶν ἐχθρῶν τὰς παρατάξεις καταβέβληκας.

Ῥώμῃ μακάριε μάρτυς ἐνισχυθείς, τῇ ἐξ ὕψους ἔσπευσας, πρὸς ἀγῶνας νουνεχῶς, ἀλογήσας ῥέουσαν χλιδήν, τῶν ἁγίων ταῖς χορείαις συνηρίθμησαι.

*Θεοτοκίον.*

Ἰλυσπωμένῳ Παρθένε τῶν ἡδονῶν, τῷ βορβόρῳ ἔγειρον, οἷα Μήτηρ ἀγαθή, τοῦ παντελεήμονος Θεοῦ, καὶ γενοῦ μοι πρὸς μετάνοιαν βοήθεια.

## *Ὠιδὴ Γ΄ Οὐκ ἔστιν ἅγιος.*

Κατακοπτόμενος δεινῶς, ἀθλοφόρε τὰς σάρκας, τῶν ἀφρόνων τὴν πλάνην, τὴν πανάθεσμον στερρῶς, διήλεγχες οὐδαμῶς τοὺς φρικώδεις πόνους λογιζόμενος.

Ὁρμὴν ἐπέσχες ἀθλητά, δεισιδαίμονος πλάνης, στεντορείως κηρύξας, πρὸ βημάτων τὸν Χριστόν, Θεὸν ὀφθέντα ἡμῖν, ἐπ' ἐσχάτων, ἐν σαρκὶ Μερκούριε.

Ὑπερβαλλούσῃ πρὸς Χριστόν, τῇ ἀγάπῃ θεόφρον, ἀνυποίστοις βασάνοις, προσωμίλησας ἀνθ' ὧν, τῆς ἀθανάτου ζωῆς, κληρονόμος μέτοχος γεγένησαι.

## *Θεοτοκίον.*

Λιμώττοντά με τῆς ζωῆς, Παναγία τοῦ ἄρτου, καὶ τοῦ πόματος ἅμα, τῆς τροφῆς τῆς σωστικῆς, δι' εὐσπλαγχνίαν πολλήν, τούτων Κόρη κόρεσον τὸν δοῦλόν σου.

## *Ὠιδὴ Δ΄ Χριστός μου δύναμις.*

Ῥανίσι ἔσβεσας, ταῖς τῶν αἱμάτων σου, τῶν εἰδώλων Μερκούριε τὴν πυράν, τῷ πυρὶ φλεγόμενος, τοῦ θειοτάτου τοῦ Χριστοῦ, τῆς ἀγάπης ἀξιάγαστε.

Ἰσχύϊ ἔνδοξε, περιφραξάμενος, τῇ ἐξ ὕψους ἀθέων παρεμβολάς, ἀθλοφόρε ἔτρεψας,

καὶ πρὸς Χριστοῦ τῆς ἀφθάρτου, ζωῆς στέφανον ἀπείληφας.

Ὡς ἀπερίτρεπτος, στύλος Μερκούριε, ταῖς βασάνοις ὡράθης ἐγκαρτερῶν, τὸ φύσει φθειρόμενον, σαρκίον ὅλως ἀθλητά, νουνεχῶς μὴ λογιζόμενος.

*Θεοτοκίον.*

Ἀναισθητότερος ἐδείχθης Ἄχραντε, καὶ τῶν λίθων γενόμενος τοῦ Θεοῦ, ἐπιλήσμων ὅθεν σοι, νῦν προσφυγόντα με Ἁγνή, κατοικτείρησον τὸν δείλαιον.

*Ὠιδὴ Ε΄ Τῷ θείῳ φέγγει σου.*

Μαστίγων πόνους καὶ τῶν ξεσμῶν, καὶ τὰς πυρακτώσεις εὐσθενῶς, στεφανηφόρε ὑπέμεινας, ἔχων τεταμένον πρὸς Χριστόν, τὸν νοῦν ἀκλινῶς, ὑφ᾽ οὗ καὶ ἐπερρώνυσο παμμακάριστε.

Ἀγαλλιώμενος ἐν δεινοῖς, καὶ τῇ ἐκτομῇ τῆς κεφαλῆς, ζωὴν τὴν ἄνω κατέφθασας, ἔνθα τῶν ἀγγέλων οἱ χοροί, μεθ᾽ ὧν τῷ Χριστῷ, μὴ παύσῃ ἱκετεύων ὑπὲρ τῶν δούλων σου.

Ῥωσθεὶς ἐξ ὕψους τὸν ἰσχυρόν, δράκοντα Μερκούριε σοφέ, πόνοις τοῖς σοῖς κατεπάλαισας, καὶ τῶν ἀνομούντων τὰς βουλάς, ἐχθρῶν δυσμενῶν, εἰς τέλος ἀξιΰμνητε διεσκέδασας.

*Θεοτοκίον.*

Ῥυπαρωτάταις ὁ ἐναγής, πράξεσι Πανάχραντε χρανθείς, τῷ τέλει ἤδη προσήγγισα, σύ με δωρεὰν ἀγαθή, παράσχου βουλήν, σωτήριον τῷ τάλανι μεταγνώσεως.

*Ὠιδὴ ΣΤ΄ Τοῦ βίου τὴν θάλασσαν.*

Τρυφή σοι λελόγισται, ἡ πληθὺς τῶν κολασμῶν, πανένδοξε Μερκούριε, διὰ τοῦτο Χριστός σε ἐν οὐρανῷ, ἀξίως ἐδόξασε, καὶ ἐν γῇ διαλάμπειν ἐν τοῖς θαύμασι.

Ὑψόθεν σθενούμενος, καταβέβληκας ὀφρύν, τοῦ παλαμναίου δράκοντος, τῶν ἀγώνων ἀνδρείως ἐγκαρτερῶν, τοῖς σκάμμασιν ἅγιε, στεφανίτα Χριστοῦ μακαριώτατε.

Ῥανίσι τοῦ αἵματος, περιέστιξας τοῦ σοῦ, τὸ σῶμά σου τὸ τίμιον, ὡς πορφύραν θεόφρον πανευπρεπῆ, καὶ χαίρων ἐχώρησας, πρὸς τὰ ἄνω βασίλεια Μερκούριε.

*Θεοτοκίον.*

Ἱλέῳ τῷ ὄμματι, Παναγία ἐπ’ ἐμοί, ἐπίβλεψον καὶ λύτρωσαι, μηχανῶν τοῦ ἀλάστορος καὶ παθῶν, αἰσχίστων τὸν ἄθλιον, ὅπως φύγω τὴν πεῖραν τῆς κολάσεως.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὠιδὴ Ζ΄ Δροσοβόλον.

Ἰατρὸς ἐδείχθης ἔνδοξε Μερκούριε, ἅπασι τοῖς ἐν πίστει τὸ σόν, ἀθλητὰ ἐπικαλουμένοις, ὄνομα παθῶν, τοῦ σώματος ἅμα καὶ ψυχῆς, ὡς γνησιώτατος θεράπων τοῦ Δεσπότου σου.

Ὑμνωδίαις δεῦτε πάντες τὸν ἀήττητον, μάρτυρα κατὰ χρέος πιστοί, εὐφημήσωμεν τὸν ἀλείπτως, Χριστῷ τῷ Θεῷ, πρεσβεύοντα ἡμῖν παρασχεῖν, ἁμαρτιῶν τῶν ἀμετρήτων τὴν συγχώρησιν.

Μερκουρίου τοῦ κλεινοῦ μεγαλομάρτυρος, ᾄσμασι καὶ ἐνθέοις ᾠδαῖς, ἀνυμνήσωμεν τοὺς ἀγῶνας, τῷ νικοποιῷ, Χριστῷ ἀνακράζοντες πιστοί, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ὡς τὸν πάντων συνοχέα σωματώσασα, ἄφθορε ἐν νηδύϊ τῇ σῇ, εἰς ἀνθρώπων τὴν σωτηρίαν, σῶσόν δη κἀμέ, σειρὰς τῶν πταισμάτων Ἁγνή, τῇ δυναστείᾳ σου τῇ θείᾳ διαλύουσα.

Ὠιδὴ Η΄ Ἐκ φλογὸς τοῖς ὁσίοις.

Νικηφόρος Μερκούριε ἀναδέδειξαι, ἐν σταδίῳ ἀνδρείαν ἐπιδειξάμενος, στρέβλωσιν

μελῶν, ὑπομένων καὶ ἔγκαυσιν, καὶ ἀλλεπαλλήλων ξεσμῶν τὰς ἀλγηδόνας.

Οὐρανίῳ στεφάνῳ κατακεκόσμησαι, ἐκτομῇ τῆς σῆς κάρας πανολβιώτατε, κλέος ἀθλητῶν καὶ πιστῶν ἐγκαλλώπισμα, ὅθεν τῶν ἀγγέλων χοροῖς συνηριθμήθης.

Νοερῶς ἐν βασάνοις ὢν καρτερώτατε, ἐνοπτρίζου θεόφρον τὰ ὑπερκόσμια, κάλλη καὶ Θεῷ τῷ Σωτῆρι ἀνέκραζες, ὑπερευλογῶ σε Χριστὲ εἰς τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Νάμα Κόρη τῷ γένει βροτῶν σωτήριον, τῷ φρικτῷ σου καὶ ξένῳ τόκῳ ἐδώρησας, δώρησαι κἀμοὶ σωτηρίαν τῷ δούλῳ σου, ἵνα εὐλογῶ σε, εἰς πάντας τοὺς αἰῶνας.

*Ὠιδὴ Θ΄ Θεὸν ἀνθρώποις.*

Αὐγὴ ἡμέρας φωτὸς ἀνίσχοντος, τοῦ τροπαιούχου μάρτυρος φαιδρὰ πανεόρτιος, ἐπεφάνη σήμερον ἡ μνήμη πιστῶν, πάντων τὰς διανοίας, καταγλαΐζουσα, καὶ τὰς ἀριστείας ἀνυμνεῖν αὐτοῦ προτρέπουσα.

Δαβὶδ τὸν θεῖον ὡς προεξάρχοντα, ἡ Ἐκκλησία σήμερον αὐχείτω τὸν ἔνθεον, τὴν κινύραν κρούοντα, καὶ αἶνον ᾠδῆς, μέλποντα ἐπαξίως, ἐν γῇ ὁ Κύριος, τοὺς ἁγίους ἅπαντας ὡς ὄντως ἐθαυμάστωσε.


ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὠιδήν σοι μάρτυς Χριστοῦ Μερκούριε, ὡς ἐφικτόν μοι ἔνδοξε, προσφέρων προσδέχθητι, καὶ τὴν παγερὰν καὶ λιθώδη καρδίαν μου, μάκαρ τῶν πρεσβειῶν σου, φωτὶ ἀπάλυνον, μετανοίας δρόσον σωτηρίου τοῦ εἰσδέξασθαι.

*Θεοτοκίον.*

Μεσίτιν ἅπαντες ἐπιστάμεθα, πρὸς τὸν Υἱόν σου Ὄρει τουτωνὶ προσπελάζοντες, Ἄθῳ τῷ σεπτῷ, καὶ ἀεὶ ἐξαιτούμεθα, Ἄχραντε Θεοτόκε, τῆς κατακρίσεως τῆς αἰωνιζούσης τοῦ φυγεῖν τῇ προστασίᾳ σου.

*Προσόμοια.*

*Ὅλην ἀποθέμενοι. Ἦχος πλ.β΄.*

Κάλλους τῆς νεότητος, μαραινομένου θεόφρον, καὶ τῆς δόξης ἔλιπες, τῆς προσκαίρου ἅγιε, καὶ τοῖς σκάμμασι, εὐσθενῶς ἔσπευσας, τῶν ἀγώνων μάκαρ, ἀξιάγαστε Μερκούριε, ἐν οἷς τὸν δράκοντα, ἄρδην καταβέβληκας ἔνδοξε, καὶ πλάνης ἀπεδίωξας, σκότος τῶν εἰδώλων καὶ εἴληφας, παρὰ τοῦ Δεσπότου, Χριστοῦ τὰς ἀντιδόσεις ἀθλητά, ἐν οὐρανοῖς ἀγαλλόμενος σὺν μαρτύρων τάγμασι.

Ξέσεις τὰς τοῦ σώματος, καὶ τῶν μαστίγων νιφάδας, καρτερῶς ἀοίδιμε, ὑπομένων αἴνεσιν τῷ Δεσπότῃ σου, καὶ Θεῷ ἔμελπες, τῷ σὲ δυναμοῦντι, σὺ κραταίωμά μου

Κύριε, σύ μου καὶ δύναμις, σύ μοι ἐν βασάνοις ἀντίληψις· καὶ χαίρων τὸν αὐχένα σου, ἔκλινας τῷ ξίφει Μερκούριε, καὶ τροπαιοφόρος, ἀνέπτης πρὸς τὰ ἄνω τοῖς χοροῖς, συναγελάζων καὶ τάξεσι, τῶν ἀγγέλων ἔνδοξε.

Μνήμην τὴν πανέορτον, τὴν σὴν Χριστοῦ ἀθλοφόρε, ἐκτελοῦντες σήμερον, οἱ πιστοὶ ἐν ᾄσμασι, σὲ γεραίρομεν, καὶ πιστῶς κράζομεν, ἐξαιτοῦντες μάρτυς, ἐκ κινδύνων ἡμᾶς λύτρωσαι, καὶ περιστάσεων, καὶ λοιμοῦ καὶ πάσης κακώσεως, καὶ κλύδωνα τὸν ἔναγχον, πράϋνον ἡμῖν τὸν ἐνσκήψαντα, ἐκ τῶν ἐπιβούλων, ἐχθρῶν τῶν μελετώντων ἐν καινοῖς, καὶ πόρρω που ἐκσφενδόνισον, τούτους παμμακάριστε.

Ἅπαντά μου Δέσποινα, προσαναλώσας τὸν βίον, τοῖς ματαίοις ἔγγιστα, τοῦ θανάτου γέγονα ὁ ταλαίπωρος, καὶ παντὸς ἔρημος, ἀγαθοῦ ὑπάρχων, τρέμω ἀναλογιζόμενος, τὸ λογοθέσιον, οἴμοι τὸ φρικτὸν καὶ ἀδέκαστον, καὶ γὰρ κατακριθήσομαι, πυρὶ τῷ ἀσβέστῳ ὁ ἄθλιος, σύ με Παναγία, ἡ Μήτηρ τοῦ Θεοῦ μου τῇ πολλῇ, σου εὐσπλαγχνίᾳ οἰκτείρησον, τότε καὶ ἐλέησον.